**ἀεί** (τύπ. *αἰεί, αἰέν*) **1.** Πάντοτε/αἰωνίως, always/eternally, Ξενοφάνης 26 *αἰεὶ δ' ἐν ταὐτῷ μίμνει κινούμενος οὐδὲν* Ἡράκλειτος 1 *τοῦ δὲ λόγου τοῦδ' ἐόντος ἀεὶ ἀξύνετοι γίνονται ἄνθρωποι* Παρμενίδης 15 *αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο* Μέλισσος 1 *ἀεὶ ἦν ὅ,τι ἦν καὶ ἀεὶ ἔσται* 2 *ὅτε τοίνυν οὐκ ἐγένετο, ἔστι τε καὶ ἀεὶ ἦν καὶ ἀεὶ ἔσται . . . ὅτε δὲ μήτε ἤρξατο μήτε ἐτελεύτησεν, ἀεί τε ἦν καὶ ἀεὶ ἔσται . . . οὐ γὰρ ἀεὶ εἶναι ἀνυστόν, ὅ,τι μὴ πᾶν ἔστι* 3 *ἀλλ' ὥσπερ ἔστιν ἀεί, οὕτω καὶ τὸ μέγεθος ἄπειρον ἀεὶ χρὴ εἶναι* 7(4) *οὐ γὰρ ἂν δύναιτο ἀεὶ εἶναι χρῆμα ἀλγέον* 8(2) *ἀεὶ εἶναι ἕκαστον, οἷόν πέρ ἐστιν* Ἐμπεδοκλῆς 12.3 *αἰεὶ γὰρ τῇ γ' ἔσται* 17.13 *ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον* 17.35 *ἠνεκὲς αἰὲν ὁμοῖα* 26.12 *ταύτῃ δ' αἰὲν ἔασιν ἀκίνητοι κατὰ κύκλον* Ἀναξαγόρας 5 *πάντα ἴσα ἀεὶ* 14 *ὁ δὲ νοῦς, ὃς ἀεί ἐστι* Δημόκριτος 112 *θείου νοῦ τὸ ἀεί τι διαλογίζεσθαι καλὸν* 227 *ὡς ἀεὶ βιωσόμενοι* **2.** Πάντοτε/διαρκῶς, always/continuously, Ξενοφάνης 1.24 *θεῶν <δὲ> προμηθείην αἰὲν ἔχειν ἀγαθὸν* Ζήνων 3.4 *εἰ . . . ἀεὶ γὰρ ἕτερα μεταξὺ τῶν ὄντων ἐστὶ* Δημόκριτος 81 *τὸ ἀεὶ μέλλειν ἀτελέας ποιεῖ τὰς πρήξιας* 191 *ἀεὶ ἐπικαινουργεῖν ἀναγκάζεται* 235.6 *τοῦτο μὲν γὰρ τὸ ἐπιθυμεῖν ἀεὶ τῶν αὐτῶν πάρεστι* **3.** Πάντοτε/κάθε φορά, always/everytime, Ζήνων 1.6 *ὅμοιον δὴ τοῦτο ἅπαξ τε εἰπεῖν καὶ ἀεὶ λέγειν* Ἐμπεδοκλῆς 12.3 *αἰεὶ γὰρ τῇ γ' ἔσται, ὅπῃ κέ τις αἰὲν ἐρείδῃ* 35.12 *ὅσσον δ' αἰὲν ὑπεκπροθέοι, τόσον αἰὲν ἐπῄει* 108 *ὅσσον <γ'> ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ φρονεῖν ἀλλοῖα παρίσταται* Ἀναξαγόρας 3.1-3 *οὔτε γὰρ τοῦ σμικροῦ ἐστι τό γε ἐλάχιστον, ἀλλ' ἔλασσον ἀεὶ . . . καὶ τοῦ μεγάλου ἀεί ἐστι μεῖζον.*

**ἀείδειν.** Ψάλλω/τραγουδῶ, sing, Ἀρχύτας 1.30 *ἢ λέγοντες ἢ ἀείδοντες.*

**ἀείζωος.** Ποὺ ζεῖ πάντοτε, everliving, Ἡράκλειτος 30.3 *πῦρ ἀείζωον.* Πρβλ. *ἀέναος, ἀίδιος.*

**ἀείρειν.** Ἀνυψώνω, raise, Ἐμπεδοκλῆς 137.1 *πατὴρ φίλον υἱὸν ἀείρας.*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ